καταφάγεται τὰ κύκλῳ τῶν βουνῶν πάντα. [18]διὰ θυμὸν ὀργῆς κυρίου 18
συγκέκαυται ἡ γῆ ὅλη, καὶ ἔσται ὁ λαὸς ὡς ὑπὸ πυρὸς κατακεκαυ-
μένος· ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἐλεήσει, [19]ἀλλὰ ἐκκλινεῖ 19
εἰς τὰ δεξιά, ὅτι πεινάσει, καὶ φάγεται ἐκ τῶν ἀριστερῶν, καὶ οὐ
μὴ ἐμπλησθῇ ἄνθρωπος ἔσθων τὰς σάρκας τοῦ βραχίονος αὐτοῦ.
[20]φάγεται γὰρ Μανασση τοῦ Εφραιμ καὶ Εφραιμ τοῦ Μανασση, 20
ὅτι ἅμα πολιορκήσουσιν τὸν Ιουδαν. ἐπὶ τούτοις πᾶσιν οὐκ ἀπ-
εστράφη ὁ θυμός, ἀλλ᾽ ἔτι ἡ χεὶρ ὑψηλή. — [1]οὐαὶ τοῖς γράφουσιν 10
πονηρίαν· γράφοντες γὰρ πονηρίαν γράφουσιν [2]ἐκκλίνοντες κρίσιν 2
πτωχῶν, ἁρπάζοντες κρίμα πενήτων τοῦ λαοῦ μου ὥστε εἶναι αὐ-
τοῖς χήραν εἰς ἁρπαγὴν καὶ ὀρφανὸν εἰς προνομήν. [3]καὶ τί ποιή- 3
σουσιν ἐν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς; ἡ γὰρ θλῖψις ὑμῖν πόρρωθεν
ἥξει· καὶ πρὸς τίνα καταφεύξεσθε τοῦ βοηθηθῆναι; καὶ ποῦ κατα-
λείψετε τὴν δόξαν ὑμῶν [4]τοῦ μὴ ἐμπεσεῖν εἰς ἐπαγωγήν; ἐπὶ πᾶσι 4
τούτοις οὐκ ἀπεστράφη ὁ θυμός, ἀλλ᾽ ἔτι ἡ χεὶρ ὑψηλή.
[5]Οὐαὶ Ἀσσυρίοις· ἡ ῥάβδος τοῦ θυμοῦ μου καὶ ὀργῆς ἐστιν ἐν 5
ταῖς χερσὶν αὐτῶν. [6]τὴν ὀργήν μου εἰς ἔθνος ἄνομον ἀποστελῶ 6
καὶ τῷ ἐμῷ λαῷ συντάξω ποιῆσαι σκῦλα καὶ προνομὴν καὶ κατα-
πατεῖν τὰς πόλεις καὶ θεῖναι αὐτὰς εἰς κονιορτόν. [7]αὐτὸς δὲ οὐχ 7
οὕτως ἐνεθυμήθη καὶ τῇ ψυχῇ οὐχ οὕτως λελόγισται, ἀλλὰ ἀπαλ-
λάξει ὁ νοῦς αὐτοῦ καὶ τοῦ ἔθνη ἐξολεθρεῦσαι οὐκ ὀλίγα. [8]καὶ 8
ἐὰν εἴπωσιν αὐτῷ Σὺ μόνος εἶ ἄρχων, [9]καὶ ἐρεῖ Οὐκ ἔλαβον τὴν 9
χώραν τὴν ἐπάνω Βαβυλῶνος καὶ Χαλαννη, οὗ ὁ πύργος ᾠκοδο-
μήθη; καὶ ἔλαβον Ἀραβίαν καὶ Δαμασκὸν καὶ Σαμάρειαν· [10]ὃν 10
τρόπον ταύτας ἔλαβον ἐν τῇ χειρί μου, καὶ πάσας τὰς ἀρχὰς λήμ-
ψομαι. ὀλολύξατε, τὰ γλυπτὰ ἐν Ιερουσαλημ καὶ ἐν Σαμαρείᾳ· [11]ὃν 11
τρόπον γὰρ ἐποίησα Σαμαρείᾳ καὶ τοῖς χειροποιήτοις αὐτῆς, οὕτως
ποιήσω καὶ Ιερουσαλημ καὶ τοῖς εἰδώλοις αὐτῆς. — [12]καὶ ἔσται ὅταν 12
συντελέσῃ κύριος πάντα ποιῶν ἐν τῷ ὄρει Σιων καὶ ἐν Ιερουσαλημ,
ἐπάξει ἐπὶ τὸν νοῦν τὸν μέγαν, τὸν ἄρχοντα τῶν Ἀσσυρίων, καὶ
ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ. [13]εἶπεν γάρ Τῇ ἰσχύι 13
ποιήσω καὶ τῇ σοφίᾳ τῆς συνέσεως, ἀφελῶ ὅρια ἐθνῶν καὶ τὴν

18 συγκεκαυται] συγκαυθησεται A† || 19 εσθιων $S^c$*LC* | αυτου] pr. του αδελφου A || 20 τουτοις πασιν] tr. SQ

10 2 αρπαζ. B*LC*] pr. και SAQ (in *O* sub ※) | κριμα BA*C*] -ματα SQ*L* || 3 εν AQ$S^c$*C*] > BS**L* | της > A† || 4 επαγωγην SA] απ- BQ*LC*; + και υποκατω ανηρημενων πεσουνται A$S^s$*LC* (in *O* sub ※) | πασι(ν) τουτοις] tr. AQ | ο θυμος (cf. 5 25 9 11. 16. 20)] η οργη B*C* || 5 οργης] η οργη B(†) | εστιν > A† || 6 αποστελλω A†, αποστρεψω S*† | ποιησαι B*C*] pr. του SAQ*L* (in *O* sub ※) || 7 και του > S(†) | εθνη εξολεθρ.] tr. AQ || 10 εν τη χειρι μου SA] > BQ*LC* | αρχας B*C*] χωρας SAQ*L* || 11 αυτης bis] $1^0$ -τοις A†, $2^0$ -τοις V† | ιερουσ.] pr. εν SQ, pr. τη *C* || 12 παντα] παν S*† | εν $2^0$ > BS† | επαξει] + κυριος SQ, επισκεψομαι *L* | τον αρχ.] pr. επι B*LC* || 13 τη bis] $1^0$ pr. εν B*C*, $2^0$ pr. εν B†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/583 UNIVERSITÄT LEIPZIG